κρινοῦσιν αὐτοὶ καὶ κουφιοῦσιν ἀπὸ σοῦ καὶ συναντιλήμψονταί
23 σοι. [23]ἐὰν τὸ ῥῆμα τοῦτο ποιήσῃς, κατισχύσει σε ὁ θεός, καὶ δυ-
νήσῃ παραστῆναι, καὶ πᾶς ὁ λαὸς οὗτος εἰς τὸν ἑαυτοῦ τόπον
24 μετ᾽ εἰρήνης ἥξει. [24]ἤκουσεν δὲ Μωυσῆς τῆς φωνῆς τοῦ γαμβροῦ
25 καὶ ἐποίησεν ὅσα αὐτῷ εἶπεν. [25]καὶ ἐπέλεξεν Μωυσῆς ἄνδρας
δυνατοὺς ἀπὸ παντὸς Ισραηλ καὶ ἐποίησεν αὐτοὺς ἐπ᾽ αὐτῶν χι-
λιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκαδάρχους,
26 [26]καὶ ἐκρίνοσαν τὸν λαὸν πᾶσαν ὥραν· πᾶν δὲ ῥῆμα ὑπέρογκον
ἀνεφέροσαν ἐπὶ Μωυσῆν, πᾶν δὲ ῥῆμα ἐλαφρὸν ἐκρίνοσαν αὐτοί.
27 [27]ἐξαπέστειλεν δὲ Μωυσῆς τὸν ἑαυτοῦ γαμβρόν, καὶ ἀπῆλθεν εἰς
τὴν γῆν αὐτοῦ.
19 [1]Τοῦ δὲ μηνὸς τοῦ τρίτου τῆς ἐξόδου τῶν υἱῶν Ισραηλ ἐκ γῆς
2 Αἰγύπτου τῇ ἡμέρᾳ ταύτῃ ἤλθοσαν εἰς τὴν ἔρημον τοῦ Σινα. [2]καὶ
ἐξῆραν ἐκ Ραφιδιν καὶ ἤλθοσαν εἰς τὴν ἔρημον τοῦ Σινα, καὶ παρ-
3 ενέβαλεν ἐκεῖ Ισραηλ κατέναντι τοῦ ὄρους. [3]καὶ Μωυσῆς ἀνέβη
εἰς τὸ ὄρος τοῦ θεοῦ· καὶ ἐκάλεσεν αὐτὸν ὁ θεὸς ἐκ τοῦ ὄρους
λέγων Τάδε ἐρεῖς τῷ οἴκῳ Ιακωβ καὶ ἀναγγελεῖς τοῖς υἱοῖς Ισραηλ
4 [4]Αὐτοὶ ἑωράκατε ὅσα πεποίηκα τοῖς Αἰγυπτίοις, καὶ ἀνέλαβον
ὑμᾶς ὡσεὶ ἐπὶ πτερύγων ἀετῶν καὶ προσηγαγόμην ὑμᾶς πρὸς
5 ἐμαυτόν. [5]καὶ νῦν ἐὰν ἀκοῇ ἀκούσητε τῆς ἐμῆς φωνῆς καὶ φυλά-
ξητε τὴν διαθήκην μου, ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων
6 τῶν ἐθνῶν· ἐμὴ γάρ ἐστιν πᾶσα ἡ γῆ· [6]ὑμεῖς δὲ ἔσεσθέ μοι βασί-
λειον ἱεράτευμα καὶ ἔθνος ἅγιον. ταῦτα τὰ ῥήματα ἐρεῖς τοῖς υἱοῖς
7 Ισραηλ. [7]ἦλθεν δὲ Μωυσῆς καὶ ἐκάλεσεν τοὺς πρεσβυτέρους τοῦ
λαοῦ καὶ παρέθηκεν αὐτοῖς πάντας τοὺς λόγους τούτους, οὓς συν-
8 έταξεν αὐτῷ ὁ θεός. [8]ἀπεκρίθη δὲ πᾶς ὁ λαὸς ὁμοθυμαδὸν καὶ
εἶπαν Πάντα, ὅσα εἶπεν ὁ θεός, ποιήσομεν καὶ ἀκουσόμεθα. ἀνή-
9 νεγκεν δὲ Μωυσῆς τοὺς λόγους τοῦ λαοῦ πρὸς τὸν θεόν. [9]εἶπεν
δὲ κύριος πρὸς Μωυσῆν Ἰδοὺ ἐγὼ παραγίνομαι πρὸς σὲ ἐν στύλῳ
νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρὸς σὲ καὶ σοὶ πι-
στεύσωσιν εἰς τὸν αἰῶνα. ἀνήγγειλεν δὲ Μωυσῆς τὰ ῥήματα τοῦ
10 λαοῦ πρὸς κύριον. [10]εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Καταβὰς δια-
μάρτυραι τῷ λαῷ καὶ ἅγνισον αὐτοὺς σήμερον καὶ αὔριον, καὶ
11 πλυνάτωσαν τὰ ἱμάτια· [11]καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν
τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται κύριος ἐπὶ τὸ ὄρος
12 τὸ Σινα ἐναντίον παντὸς τοῦ λαοῦ. [12]καὶ ἀφοριεῖς τὸν λαὸν

22 σοι] σου A || 23 εις — fin. B†] ηξει εις τον τοπον αυτου μετ ειρ. A || 25 fin.] uide 21 fin. || 26 παν δε ρημα 1°] το δε ρ. το A | επι] προς A || 27 εαυτου γαμβρον] tr. A

19 1 του ult. > A || 2 απηραν B† || 3 ορους] ουρανου B† || 5 εμης φωνης] φ. μου A || 7 εκαλεσεν] ελαλησεν προς B*† | του λαου] ισραηλ A† | αυτω] -τοις A || 8 απεκρ. δε] και απ. A† | του λαου] τουτους B || 10 πλυνουσιν A† || 11 το ult. > A